νωόμενον (1). Διακριτέον δὲ τὴν ἐπὶ τῆς συνεπείας ἀλήθειαν (§. φμγ΄.) κἀνταῦθα, τῆς ἐπὶ τοῦ ἑπομένου.

§. φνγ΄. Ζ΄. Ἐξ ἡγουμένης γνώσεως, δι᾽ ἧς μόνον ὡς δυνατὸν παρίσταται τὸ γινωσκόμενον, ἡ ἐνεργείᾳ ὑφεστηκέναι αὐτὸ ἀποφαινομένη ἐκεῖνο, οὐδαμῶς ἕπεται. Πῶς γὰρ ἂν τὸ ἐνεργείᾳ ἐν τῷ δυνάμει ποτὲ περιέχοιτο; (§. φμγ΄. κζ΄.) τοῦτο δὴ ἐστὶν ἐκ τοῦ δυνάμει (ὥς φασι) μηδὲν ἐνεργείᾳ συνάγεσθαι.

§. φνδ΄. Η΄. Ἐκ τοῦ ἐνεργείᾳ ἤδη ὑφεστῶτος, τὸ δυνάμει πρότερον εἶναι τὸ αὐτὸ, πάνυ εὐλόγως διανοούμεθα. Ἐπισυνακτικὸν γὰρ τοῦ δυνάμει τὸ ἐνεργείᾳ, κἀν τούτου τῷ βάθει ἐκεῖνο περιληπτόν (§. φμέ.). Ὃ γὰρ ἐνεργείᾳ ἤδη ἐστὶ, δυνατὸν ἦν πρὶν γενέσθαι. Εἰ μὴ γὰρ, οὐδ᾽ ἂν ἐγένετο, οὐδ᾽ ὑπάρχον ἂν εἴη ὡς ὑποτίθεται. Καὶ ἡ ἀντίφασις καταφανής. Ἐπὶ μέντοι τῆς ἁπλουστάτης ἐντελεχείας, ὁ τῆς ἐπιφορᾶς λόγος οὐκ εὐοδοῦται. Τὸ γὰρ Θεῖον ἀΐδιος ἐντελέχεια, οὐδὲν δυνάμει οὐδ᾽ οὖσα ὅλως, οὐδ᾽ ἔχουσα. Ἐκεῖνος γὰρ ἡ ἐνέργεια (2).

§. φνέ. Θ΄. Ἐκ τοῦ κατ᾽ ἐπίνοιαν ὡς ἡγουμένου, τὸ ἐν πράγμασιν ὑφεστὼς οὐκ ἂν ὀρθῶς ἐπιφέροιτο, ἢ τοιοῦτο, ἢ τοιοῦτον. Οὐδὲ γὰρ περιεκτικὴ ἂν εἴη ἡ τῇ ἐπινοίᾳ ἀναπλαττομένη, τῆς πραγματιώδους ὑποστάσεως οὔθ᾽ ὁμοιότητι (§. φμδ΄.), οὔτε βάθει

(1) Ἐκ ψευδῶν προτάσεων ἀληθὲς ἐνδέχεσθαι συμπέρασμα συναχθῆναι, καὶ Ἀριστοτέλης διὰ πλειόνων ἐδίδαξε (Προτέρ. Ἀναλυτ. Βιβλ. β΄.), ὅτι καὶ τοῦ ἡγουμένου μὴ ὄντος, τὸ ἑπόμενον καὶ εἶναι, καὶ μὴ εἶναι ἐνδέχεται, ὡς αὐτὸς αἰτιολογεῖ· τοῦτο δὲ ἐστὶν (ὡς αὐτοί φαμεν), οὐδὲν ἄλλ᾽ ἢ τὸ ἐπιφερόμενον, μὴ ἐκ τοῦ ἡγουμένου, ἄλλοθεν δὲ κεκληρῶσθαι τὸ ἀληθεύειν. Ἧπου γὰρ ψευδὲς μὲν ὅλως ἐστὶ, πάντα τε λίθον εἶναι ζῶον, καὶ πάντα ἄνθρωπον λίθον. Ψευδὲς δὲ κατά τι ἅπαντα λευκὸν εἶναι ζῶον, καὶ ἅπαντα ἄνθρωπον λευκόν. Εἰ δέ τις ἑκατέρωσε ὑποσυνάψειεν, ὅτι πᾶς ἄνθρωπος ζῶον, παναληθέστατον ἔσται τὸ συναγόμενον. Οὐ μὴν δι᾽ ἐκεῖνα, καθ᾽ αὐτὸ δέ· ὡς μηδὲ εἶναι κυρίως φάναι συναγόμενον, οὐδ᾽ ἑπόμενον τοῦτο ἐκείνοις, ἀλλ᾽ ἢ μόνον τῷ δοκεῖν. Ταύτῃτοι καὶ τοὺς τοιούτους Συλλογισμοὺς οὐχὶ τοῦ διότι, τοῦ δ᾽ ὅτι ἐκάλεσεν ὁ Φιλόσοφος. „Εἰδέναι γὰρ δεῖ ὅτι εἰ ἀληθεῖς εἰσὶν αἱ προτάσεις ὁ μέσος ὅρος ἔχει τὴν αἰτίαν, δι᾽ ἧς συνάπτει ὁ ἄκρος τῷ ἄκρῳ. Διὰ γὰρ τοῦ μέσου ὅρου ὁ ἄκρος τῷ ἄκρῳ δείκνυται, καὶ ἔστιν ὁ Συλλογισμὸς τοῦ διότι. Εἰ δὲ ψευδεῖς εἰσὶν αἱ προτάσεις, ἀληθὲς δὲ τὸ συμπέρασμα, αὐτὸ τοῦτο μόνον συνήχθη, ὅτι τὸ ἄκρον τῷ ἄκρῳ ὑπάρχει, καὶ μόνον τὸ ὅτι. Οὔτε γὰρ τὴν αἰτίαν ἔχει ὁ μέσος ὅρος ἐπὶ τῶν ψευδῶν προτάσεων, διότι τὸ ἄκρον τῷ ἄκρῳ συνάπτεται. Φιλόπον. ἐν ὑπομν. εἰς τὸ Β. τῶν Προτ. Ἀναλυτ.

(2) Ἀρισ. Μεταφ. Λ.



θει ὡς γνώρισμα (§. φμέ.), οὔτε πλάτει ὡς εἶδος, ἢ ἄτομον. (§. φμς΄.).

§. φνς΄. Ι΄. Τελευταῖον καὶ τὴν ἡγουμένην γνῶσιν σαφεστέραν ἀείποτε δέον εἶναι τῆς ἐπαγομένης. Εἰκὸς γὰρ τὸ περιέχον τοῦ ἐν αὐτῷ περιεχομένου πρότερον ἀπαντᾶν. Ἄλλως τε δὲ, καὶ ὅτι τὴν ἐπὶ τοῦ συναγομένου τῶν ἄκρων σχέσιν, ὡς μὴ καθ᾽ ἑαυτὴν δήλην, διὰ τῆς ἐκείνων πρὸς ἄλλους ὅρους προδηλοτέρας σχέσεως, ἐν τῷ ἡγουμένῳ θηρώμεθα, ἄχρι καὶ αὐτῶν τῶν προδηλοτάτων (§. φλ΄. φλά.).

# ΚΕΦ. ΔΕΥΤΕΡΟΝ

## Περὶ λόγου Ἑρμηνευτικοῦ τῆς Διανοίας, καὶ τῶν Εἰδῶν αὐτοῦ.

### §. φνζ΄.

Ἀπὸ τῶν ἐνδιαθέτων διανοημάτων, ἐπὶ τὰ διὰ τῶν φωνητικῶν ὀργάνων ἀπηχούμενα προκύπτουσα ἡ Διάνοια, Ἐπιχείρημα καλεῖται, παρὰ τὸ κατασκευάζειν ἡμᾶς ἐπιχειρεῖν δι᾽ αὐτοῦ τὸ ζητούμενον (1). Ὥρισται δὲ λόγος πιστωτικὸς ἀδήλου τε καὶ ἀμφισβητουμένης ἀποφάνσεως, δι᾽ ἀναμφισβητήτων καὶ γνωρίμων κατασκευαστικός. Προφορικὸς μὲν, ὡς τῆς κατὰ διάνοιαν ἐνεργείας ἑρμηνευτικὸς· πιστωτικὸς δὲ, οὐ κατὰ τὰς ἐξωτέρας καλουμένας πίστεις, οἷαι εἰσὶν ὅρκοι, καὶ μαρτυρίαι, καὶ τὰ κατὰ δόξαν τὴν τῶν ἄλλων ἁπλῶς προβαλλόμενα (2), ἃ δὴ τοῖς ῥήτορσιν ὁ Φιλόσοφος λόγος παρέλιπεν,



(1) Ἐπιχείρημα, καὶ ἡ τῶν κατασκευῶν τοῦ προβλήματος διάθεσις ὠνόμασται καὶ τάξις (παρὰ Κυντιλιανῷ Βιβλ. Ε΄.) καὶ ὁ λόγος αὐτὸς ὁ κατασκευάζων. Καὶ ἐπιχείρησις (παρὰ Ἀμμων.) Ἔνθεντοι καὶ ἐπιχειρούμενον τὸ δι᾽ ἐπιχειρήματος κατασκευαζόμενον (παρὰ τῷ Φίλωνι). Καὶ προβλήματα εὐεπιχείρητα (παρ᾽ Ἀρισ.) καὶ δυσεπιχείρητα. Καὶ ἐπιχειρηματικὸς ἀνήρ, οὐ μόνον ὁ πολύτροπος, καὶ πολύβουλος, ἀλλὰ καὶ ὁ πρὸς τὸ κατασκευάζειν καὶ διαπιστοῦν τὸ προκείμενον δεξιὸς (παρὰ Βουδ· ἐν ὑπομν.

(2) Τέτταρα κατασκευῆς καὶ πίστεως εἴδη κατέλεξεν ὁ Λώκιος (περὶ Νοῦ Βιβ. Δ. Κεφ. ιζ΄. §. 19.) ὧν τὸ μὲν ἐκ μαρτυρίας πρὸς αἰδῶ ὠνόμασεν, ad verecundiam. Τὸ δὲ ἐκ τοῦ μηδὲν ἄμεινον προβαλέσθαι ἔχειν τὸν ἀντι-